ὕβρισμ' ἐς ἡμᾶς ἠξίωσεν ὑβρίσαι,
πέμπων ὅποι γῆς πυνθάνοιθ' ἱδρυμένους,
κήρυκας, ἐξαιτεῖ τε, κἀξείργει χθονὸς,
πόλιν προτείνων Ἄργος † οὐ σμικρὰν φίλων,
ἔχθραν γε θέσθαι, χαὐτὸν εὐτυχοῦνθ' ἅμα.
οἱ δ', ἀσθενῆ μὲν τἀπ' ἐμοῦ δεδορκότες,
σμικροὺς δὲ τούσδε, καὶ πατρὸς τητωμένους,
τοὺς κρείσσονας σέβοντες, ἐξείργουσι γῆς.
ἐγὼ δὲ σὺν φεύγουσι συμφεύγω τέκνοις,
καὶ ξὺν κακῶς πράσσουσι συμπράσσω κακῶς,
ὀκνῶν προδοῦναι, μή τις ὧδ' εἴπῃ βροτῶν,
Ἴδεσθ', ἐπειδὴ παισὶν οὐκ ἔστιν πατὴρ,
Ἰόλαος οὐκ ἤμυνε, συγγενὴς γεγώς.—
πάσης δὲ χώρας Ἑλλάδος τητώμενοι,
Μαραθῶνα, καὶ ξύγκληρον ἐλθόντες χθόνα,
ἱκέται καθεζόμεσθα βώμιοι θεῶν,
προσωφελῆσαι. πεδία γὰρ τῆσδε χθονὸς
δισσοὺς κατοικεῖν Θησέως παῖδας λόγος,
κλήρῳ λαχόντας, ἐκ γένους Πανδίονος,
τοῖσδ' ἐγγὺς ὄντας. ὧν ἕκατι, τέρμονας
κλεινῶν Ἀθηνῶν τήνδ' ἀφικόμεσθ' ὁδόν.
δυοῖν γερόντοιν δὲ στρατηγεῖται φυγή.
ἐγὼ μὲν ἀμφὶ τοῖσδε καλχαίνω τέκνοις.
ἡ δ' αὖ τὸ θῆλυ παιδὸς Ἀλκμήνη γένος
ἔσωθε ναοῦ τοῦδ' ὑπηγκαλισμένη

18. ἐς ὑμᾶς
19. ὅπῃ γῆς
21. πόλιν προτιμῶν
Ib. F. φίλοις,
22. ἔχθραν γενέσθαι, χ' αὐτὸν
27. καὶ σὺν
29. οὐκ ἔστι
32. σύγκληρον
33. καθεζώμεσθα
38. τόνδ' ἀφικόμεσθ' ὅρον.
40. χαλκαίνω
41. ἥδ' αὖ
42. ἀπηγκαλισμένη,